καὶ ποταμοὶ οὐ συγκλύσουσιν αὐτήν·
ἐὰν δῷ ἀνὴρ τὸν πάντα βίον αὐτοῦ ἐν τῇ ἀγάπῃ,
ἐξουδενώσει ἐξουδενώσουσιν αὐτόν.
8 Ἀδελφὴ ἡμῖν μικρὰ καὶ μαστοὺς οὐκ ἔχει·
τί ποιήσωμεν τῇ ἀδελφῇ ἡμῶν
ἐν ἡμέρᾳ, ᾗ ἐὰν λαληθῇ ἐν αὐτῇ;
9 εἰ τεῖχός ἐστιν, οἰκοδομήσωμεν ἐπ᾽ αὐτὴν ἐπάλξεις ἀργυρᾶς·
καὶ εἰ θύρα ἐστίν, διαγράψωμεν ἐπ᾽ αὐτὴν σανίδα κεδρίνην.
10 Ἐγὼ τεῖχος, καὶ μαστοί μου ὡς πύργοι·
ἐγὼ ἤμην ἐν ὀφθαλμοῖς αὐτοῦ ὡς εὑρίσκουσα εἰρήνην.
11 Ἀμπελὼν ἐγενήθη τῷ Σαλωμων ἐν Βεελαμων·
ἔδωκεν τὸν ἀμπελῶνα αὐτοῦ τοῖς τηροῦσιν,
ἀνὴρ οἴσει ἐν καρπῷ αὐτοῦ χιλίους ἀργυρίου.
12 ἀμπελών μου ἐμὸς ἐνώπιόν μου·
οἱ χίλιοι σοί, Σαλωμων, καὶ οἱ διακόσιοι
τοῖς τηροῦσι τὸν καρπὸν αὐτοῦ.
13 Ὁ καθήμενος ἐν κήποις,
ἑταῖροι προσέχοντες τῇ φωνῇ σου· ἀκούτισόν με.
14 Φύγε, ἀδελφιδέ μου, καὶ ὁμοιώθητι τῇ δορκάδι
ἢ τῷ νεβρῷ τῶν ἐλάφων ἐπὶ ὄρη ἀρωμάτων.

$7^2$ συνκλ(ε)ισουσιν A† || $8^1$ ημιν B*S*†] ημων rel. || $10^1$ μαστοι] pr. οι S | ως > B† | $10^2$ αυτων B† | ως > A | ειρηνην] χαριν S† || $11^1$ εγενηθην A† | βεελλαμων S†, βεεθλαμων B† | $11^3$ > A† | αργυριου] -ριους αυτου S*† || $12^2$ σοι Vpau.] > BA: excidit post -ιοι; τω S | διακ.] δισχιλιοι S*† || $13^2$ την φωνην S (την φ. σου ακουτ. με est stichus in S: item in A τη φωνη retinente) || $14^1$ φευγε A† | μου > S*† | $14^2$ τω > A | των > S*A | ορη] pr. τα SA | αρωμ.] κοιλωματων S*A†: ex 2 17

Subscr. ασμα B, ασμα ασματων SA: cf. inscr.

## Corollarium.

Ad finem libri noto distinctiones actorum in A et S (non in B): 1) A addit η νυμφη ante 1 $2^1$ $5^1$ $16^1$ 2 $17^2$ 4 $16^1$ 5 $3^1$ 6 $10^1$, ο νυμφιος ante 1 $3^3$ $12^2$ 2 $10^2$ 3 $6^1$ 5 $1^1$ 6 $4^1$ 8 $5^3$. — 2) S praebet in media columna has inscriptiones: 1 $2^1$ η νυμφη, $4^3$ ταις νεανισιν η νυμφη διηγειται τα περι του νυμφιου α εχαρισατο αυτη, $4^4$ της νυμφης διηγησαμενης ταις νεανισιν αιδε ειπαν, $4^6$ αι νεανιδες τω νυμφιω βοωσιν το ονομα της νυμφης ευθυτης ηγαπησεν σε (sic), $5^1$ η νυμφη, $7^1$ προς τον νυμφιον χριστον, $8^1$ ο νυμφιος προς την νυμφην, $10^1$ αι νεανιδες προς την νυμφην, $12^2$ η νυμφη προς εαυτην και προς τον νυμφιον, $15^1$ ο νυμφιος προς την νυμφην, $16^1$ η νυμφη προς τον νυμφιον, 2 $1^1$ ο νυμφιος προς εαυτον, $2^1$ και προς την νυμφην, $3^1$ η νυμφη προς τον νυμφιον, $4^1$ ταις νεανισιν η νυμφη φησιν, $6^1$ προς τον νυμφιον η νυμφη, $7^1$ ταις νεανισιν η νυμφη, $8^1$ ακηκοεν του νυμφιου η νυμφη, $9^3$ η νυμφη προς τας νεανιδας σημαινουσα αυταις τον νυμφιον, $15^1$ τοις νεανιαις ο νυμφιος ταδε, $16^1$ η νυμφη ταδε, 3 $3^2$ η νυμφη τοις φυλαξιν ειπεν, $4^3$ ευρουσα τον νυμφιον ειπεν, $5^1$ τας νεανιδας ορκιζει η νυμφη τουτο δευτερον (cf. 2 7), $6^1$ ο νυμφιος προς την νυμφην, 4 $16^3$ η νυμφη αιτειται τον πατερα ινα κατα-

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id41624694X/274 UNIVERSITÄT LEIPZIG